ταῦτ' ἐστίν. ὥστε μή με, πρὸς τῆς Ἑστίας,
ἀποστερήσηις ἀνδρὸς ὧι συνώικισας·
χάριν δίκαιαν καὶ φιλάνθρωπον, πάτερ,
αἰτῶ σε ταύτην. εἰ δὲ μή, σὺ μὲν βίαι
πράξεις ἃ βούλει, τὴν δ' ἐμὴν ἐγὼ τύχην
πειράσομ' ὡς δεῖ μὴ μετ' αἰσχύνης φέρειν.

## PAP. DIDOT II

ἐρημία μέν ἐστι κοὐκ ἀκούσεται
οὐδεὶς παρών μου τῶν λόγων ὧν ἂν λέγω.
ἐγὼ τὸν ἄλλον, ἄνδρες, ἐτεθνήκειν βίον
ἅπανθ' ὃν ἔζην, τοῦτό μοι πιστεύετε.
†πανι̣λ̣ε̣κ̣τ̣ο̣ τὸ καλόν, τἀγαθόν, τὸ σεμνόν†
τὸ κακόν· τοιοῦτον ἦν τί μου πάλαι σκότος
περὶ τὴν διάνοιαν ὡς ἔοικε κείμενον,
ὃ πάντ' ἔκρυπτε ταῦτα κἠφάνιζέ μοι.
νῦν δ' ἐνθάδ' ἐλθών, ὥσπερ εἰς Ἀσκληπιοῦ
ἐγκατακλιθεὶς σωθείς τε, τὸν λοιπὸν χρόνον
ἀναβεβίωκα· περιπατῶ, λαλῶ, φρονῶ·
τὸν τηλικοῦτον καὶ τοσοῦτον ἥλιον
νῦν τοῦτον εὗρον, ἄνδρες· ἐν τῆι τήμερον
ὑμᾶς ὁρῶ νῦν αἰθρίαι, τὸν ἀέρα,
τὴν ἀκρόπολιν, τὸ θέατρον.